BA [14]ἐπικατάρατοι πάντες οἱ μισοῦντές σε· 14
εὐλογημένοι ἔσονται πάντες οἱ ἀγαπῶντές σε εἰς τὸν αἰ-
ῶνα.
[15]χάρηθι καὶ ἀγαλλίασαι ἐπὶ τοῖς υἱοῖς τῶν δικαίων, 15
ὅτι συναχθήσονται καὶ εὐλογήσουσιν τὸν κύριον τῶν δι-
καίων·
ὦ μακάριοι οἱ ἀγαπῶντές σε,
χαρήσονται ἐπὶ τῇ εἰρήνῃ σου.
[16]μακάριοι ὅσοι ἐλυπήθησαν ἐπὶ πάσαις ταῖς μάστιξίν σου, 16
ὅτι ἐπὶ σοὶ χαρήσονται θεασάμενοι πᾶσαν τὴν δόξαν σου
καὶ εὐφρανθήσονται εἰς τὸν αἰῶνα.
ἡ ψυχή μου εὐλογείτω τὸν θεὸν τὸν βασιλέα τὸν μέγαν.
[17]ὅτι οἰκοδομηθήσεται Ιερουσαλημ σαπφείρῳ καὶ σμαράγδῳ 17
καὶ λίθῳ ἐντίμῳ τὰ τείχη σου
καὶ οἱ πύργοι καὶ οἱ προμαχῶνες ἐν χρυσίῳ καθαρῷ,
καὶ αἱ πλατεῖαι Ιερουσαλημ βηρύλλῳ καὶ ἄνθρακι καὶ λίθῳ
ἐκ Σουφιρ ψηφολογηθήσονται.

$15^{1}$ χαρητι B*A: cf. Thack. p. 104 || $16^{1}$ πασαις > B* | $16^{3}$ ευφρανθησεται B† | $16^{4}$ ευλογει B† || $17^{1}$ σαππειρω B† | $17^{2}$ επιτιμω A† | $17^{3}$ εν > B

S [14]ἐπικατάρατοι πάντες, οἳ ἐροῦσιν λόγον σκληρόν, ἐπικατάρατοι 14
ἔσονται πάντες οἱ καθαιροῦντές σε καὶ κατασπῶντες τὰ τείχη
σου καὶ πάντες οἱ ἀνατρέποντες τοὺς πύργους σου καὶ ἐμπυρί-
ζοντες τὰς οἰκήσεις σου· καὶ εὐλογητοὶ ἔσονται πάντες εἰς τὸν
αἰῶνα οἱ φοβούμενοί σε. [15]τότε πορεύθητι καὶ ἀγαλλίασαι πρὸς 15
τοὺς υἱοὺς τῶν δικαίων, ὅτι πάντες ἐπισυναχθήσονται καὶ
εὐλογήσουσιν τὸν κύριον τοῦ αἰῶνος. μακάριοι οἱ ἀγαπῶντές σε,
καὶ μακάριοι οἳ χαρήσονται ἐπὶ τῇ εἰρήνῃ σου· [16]καὶ μακάριοι 16
πάντες οἱ ἄνθρωποι, οἳ ἐπὶ σοὶ λυπηθήσονται ἐπὶ πάσαις ταῖς μά-
στιξίν σου, ὅτι ἐν σοὶ χαρήσονται καὶ ὄψονται πᾶσαν τὴν χαράν
σου εἰς τὸν αἰῶνα. ἡ ψυχή μου, εὐλόγει τὸν κύριον τὸν βασιλέα
τὸν μέγαν. [17]ὅτι Ιερουσαλημ οἰκοδομηθήσεται, τῇ πόλει οἶκος 17
αὐτοῦ εἰς πάντας τοὺς αἰῶνας. μακάριος ἔσομαι, ἂν γένηται
τὸ κατάλειμμα τοῦ σπέρματός μου ἰδεῖν τὴν δόξαν σου καὶ
ἐξομολογήσασθαι τῷ βασιλεῖ τοῦ οὐρανοῦ. καὶ αἱ θύραι Ιερου-
σαλημ σαπφείρῳ καὶ σμαράγδῳ οἰκοδομηθήσονται καὶ λίθῳ τι-
μίῳ πάντα τὰ τείχη σου· οἱ πύργοι Ιερουσαλημ χρυσίῳ οἰκοδο-
μηθήσονται καὶ οἱ προμαχῶνες αὐτῶν χρυσίῳ καθαρῷ· αἱ πλα-
τεῖαι Ιερουσαλημ ἄνθρακι ψηφολογηθήσονται καὶ λίθῳ Σουφιρ.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1087 UNIVERSITÄT LEIPZIG